ἢ sententiā muto. ἀπογινώσκω, ποτὲ μὲν γενικῇ, ποτὲ δὲ αἰτιατικῇ, reiicio.

ε΄ Ὁράω, ῶ, ἀπατάω, ῶ. ἀτιμάζω, βάλλω, καταβάλλω, διαβάλλω. Τὸ συμβάλλω δὲ, diligenter cōsidero, confero, congredior cū aliquo, καὶ συντάσσεται δοτικῇ. ὁμοίως καὶ τὸ προσβάλλω, adiicio. ὑποβάλλω δέ σοι τόδε, subiicio, ὅτε suborno. Νίπτω τὰς χεῖρας πρὸ τοῦ ἀρίστου, ἀπονίπτω δὲ μετὰ τὸ ἄριστον.

## Ἐξαίρεσις.

α΄ Τὸ ἀγαπῶ πλέον τοῦ φιλεῖν σημαίνει· καὶ φιλῶ μὲν παρόντα, ποθῶ δὲ ἀπόντα.

β΄ Τὸ ἐρῶ, ὡς τὰ πολλὰ αἰσχρᾶς βουλῆς λαμβάνεται καὶ γενικῇ συντάσσεται, λαμβάνεται καὶ ἐπὶ ἀγαθοῦ καὶ πλέον τοῦ φιλεῖν σημαίνει, ὅθεν καὶ τὸν ἀγαθὸν βασιλέα, φασί, μὴ μόνον ὑπὸ αὐτῶν φιλεῖσθαι, ἀλλὰ καὶ ἐρᾶσθαι.

γ΄ Καταλύω ὅτε μὲν τὸ ἀφανίζω μετ' αἰτιατικῆς, ὅτε δὲ τὸ ξενίζομαι σημαίνει μετ' αἰτιατικῆς καὶ τῆς εἰς προθέσεως· οἷον καταλύω εἰς τὸ ξενοδοχεῖον, μετὰ δοτικῆς καὶ τῆς παρὰ προθ: οἷον καταλύω παρὰ τῷ ξένῳ ἤτοι ξενίζομαι, diuerto, hospitio, excipior, hospes sū, ἀφ' οὗ κατάλυμα, diuersorium, hospitium, ἡ πρόσκαιρος κατοικία.

δ΄ Ἔχω ὅτε μὲν σημαίνει τὸ κέκτημαι, τὸ κρατῶ, τὸ οἰκῶ, τὸ φορῶ, τὸ ἐλαύνω, αἰτιατικῇ συντάσσεται, ὅτε δὲ σημαίνει τὸ δύναμαι, ἀπαρεμφάτῳ· οἷον ἔχω ποιεῖν, ἀντὶ δύναμαι· ὅτε δὲ τὸ διάκειμαι, ἐπιρρήματι καὶ γενικῇ· οἷον εὖ ἔχω, καὶ οὕτω γνώμης ἔχω. καὶ καλῶς ἔχω τοῦ

σώματος